εἰ μὴ θέσιν διαφυλάττων. καὶ περὶ μὲν τούτων ἅλις. ἱκανῶς γὰρ καὶ ἐν τοῖς ἐγκυκλίοις εἴρηται περὶ αὐτῶν. τρίτος δ᾽ ἐστὶν ὁ θεωρητικὸς, ὑπὲρ οὗ τὴν ἐπίσκεψιν ἐν τοῖς ἑπομένοις ποιησόμεθα. ὁ δὲ χρηματιστὴς, βίαιός τις ἐστί· καὶ ὁ πλοῦτος δῆλον ὅτι οὐ τὸ ζητούμενον ἀγαθόν· χρήσιμον γὰρ, καὶ ἄλλου χάριν. διὸ μᾶλλον τὰ πρότερον λεχθέντα, τέλη τις ἂν ὑπολάβοι. δι᾽ αὑτὰ γὰρ ἀγαπᾶται. φαίνεται δ᾽ οὐδ᾽ ἐκεῖνα. καίτοι πολλοὶ λόγοι πρὸς αὐτὰ καταβέβληνται· ταῦτα μὲν οὖν ἀφείσθω.

Κεφάλαιον δ.

Τὸ δὲ καθόλου, βέλτιον ἴσως ἐπισκέψασθαι, καὶ διαπορῆσαι πῶς λέγεται, καίπερ προσάντους τῆς τοιαύτης γινομένης ζητήσεως, διὰ τὸ φίλους ἄνδρας εἰσαγαγεῖν τὰ εἴδη. δόξειε δ᾽ ἂν ἴσως βέλτιον εἶναι, καὶ δεῖν ἐπὶ σωτηρίᾳ [γε] τῆς ἀληθείας καὶ τὰ οἰκεῖα ἀναιρεῖν, ἄλλως τε καὶ φιλοσόφους ὄντας. ἀμφοῖν γὰρ ὄντοιν φίλοιν, ὅσιον προτιμᾶν τὴν ἀλήθειαν. Οἱ δὲ κομίσαντες τὴν δόξαν ταύτην, οὐκ ἐποίουν ἰδέας ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερον ἔλεγον. διόπερ οὐδὲ τῶν ἀριθμῶν ἰδέαν κατεσκεύαζον· τὸ δὲ ἀγαθὸν λέγεται καὶ ἐν τῷ τί ἐστι, καὶ ἐν τῷ ποιῷ, καὶ ἐν τῷ πρός τι· τὸ δὲ καθ᾽ αὑτὸ καὶ ἡ οὐσία πρότερον τῇ φύσει, τοῦ πρός τι. παραφυάδι γὰρ τοῦτ᾽ ἔοικε, καὶ συμβεβηκότι τοῦ ὄντος· ὥστ᾽ οὐκ ἂν εἴη κοινή τις ἐπὶ τούτων ἰδέα. Ἔτι, ἐπεὶ τἀγαθὸν ἰσαχῶς λέγεται τῷ ὄντι· (καὶ γὰρ ἐν τῷ τί λέγεται, οἷον ὁ θεὸς, καὶ ὁ νοῦς· καὶ ἐν τῷ ποιῷ, αἱ ἀρεταί· καὶ ἐν τῷ ποσῷ, τὸ μέτριον· καὶ ἐν τῷ πρός τι, τὸ χρήσιμον· καὶ ἐν χρόνῳ, καιρὸς· καὶ ἐν τόπῳ, δίαιτα, καὶ ἕτερα τοιαῦτα) δῆλον ὡς οὐκ ἂν εἴη κοινόν τι καθόλου καὶ ἕν. οὐ γὰρ ἂν ἐλέγετο ἐν πάσαις ταῖς κατηγορίαις, ἀλλ᾽ ἐν μιᾷ μόνῃ. Ἔτι δὲ, ἐπεὶ τῶν κατὰ μίαν ἰδέαν μία καὶ ἐπιστήμη, καὶ τῶν ἀγαθῶν ἁπάντων ἦν [ἂν] μία τις ἐπιστήμη. νῦν δ᾽ εἰσὶ πολλαὶ καὶ τῶν ὑπὸ μίαν κατηγορίαν· οἷον καιροῦ, ἐν πολέμῳ μὲν, στρατηγική· ἐν νόσῳ δὲ, ἰατρική· καὶ τοῦ μετρίου, ἐν τροφῇ μὲν, ἰατρική· ἐν πόνοις δὲ, γυμναστική. Ἀπορήσειε δ᾽ ἄν τις, τί ποτε καὶ βούλονται λέγειν αὐτοέκαστον. εἴπερ ἔν τε αὐτοανθρώπῳ καὶ ἀνθρώπῳ εἷς καὶ

A nisi qui seruare positione velit. Ac de his quidem hactenus: satis enim etiam in circularibus de ipsis dictum est. Tertia vita est contemplatiua, de qua in sequentibus considerabimus. Pecuniaria verò violenta quædam est: & diuitiæ neque ipsæ proculdubio sunt id quod quæritur, bonum: sunt enim vtiles, alteriúsque causa comparantur. Icciro ea potius, quæ prius dicta sunt, esse fines aliquis existimaret, eò quòd propter se expetuntur. sed
B neque illa tamen videntur: licet multæ ad ipsa hæc coniectæ rationes fuerint. hæc igitur missa faciamus:

CAPVT IIII.

Melius verò fortasse est, vt vniuersale consideremus, & quomodo dicatur inquiramus. quãquam arduam nobis hanc quæstionem futuram esse video: propterea quòd amici sunt, qui formas introduxerunt. Sed forsan rectius esse, & oportere
C videretur: vt pro veritatis salute vnusquisque, & præsertim philosophi sua quoque propria refutarent. Nam licet amici ambo sint, sanctum est veritatem ipsis in honore anteponere. Qui igitur hanc opinionem attulerunt, in illis ideas nullas faciebant, in quibus prius & posterius aliquid dicerent. Vnde neque numerorum speciem, id est ideam constituebant. At bonum dicitur & in eo quod est quid, & in
D quali, & in eo quod est ad aliquid. Quod verò per se est & substantia, prius eo natura est quod est ad aliquid. esse enim hoc appendix quędam videtur atque accidens eius quod est. Quare communis aliqua in his idea esse non potest. Præterea cùm bonum totidem modis dicatur, quot illud quod est (nam & in substantia dicitur, vt Deus & mens: & in qualitate, virtus: & in
E quantitate mediocre: & in eo quod est ad aliquid, vtile: & in tempore, occasio & in vbi, diuersatio: & alia huiusmodi) perspicuum est commune aliquod vniuersale atque vnum esse non posse. non enim in omnibus denuncupationibus, id est prædicamentis, sed in vno tantum diceretur. Præterea in iis quæ vnam habent ideam, vna quoque scientia est: atque ita
F bonorum omnium vna quædam scientia esset. sed multę sunt scientię eorum etiam quę sub vna denuncupatione constituuntur. vt occasionis: in bello, militaris ars: in morbo, medicina, & mediocris: in alimento, medicina: in laboribus, exercitatoria. Dubitaret autem quispiam quidnam velint per se vnumquodque dicere: & si per se in homine & in homine vna &